τίδα. ἄλλως. χαριέντως τὸ ἔχεις τι. τῇ τῶν ἀλεκτρυόνων λέξει χρώμενος. τοῖς γὰρ ἁλιεῦσιν ἢ ὀρνιθαγρευταῖς, οὕτω φασίν. ἔχεις τι. Η τὸ πέος] παρεπιγραφή. δεῖ γὰρ αὐτὸν καθέζεσθαι ἔχοντα τὸ αἰδοῖον. καὶ μιμεῖσθαι τὸν δερμύλλοντα ἑαυτόν.

Σω. Οὐκ ἐγκαλυψάμενος ταχέως τι φροντιεῖς;
Στρ. Περὶ τοῦ; σὺ γάρ μοι τοῦτο φράσον ὦ Σώκρατες.
Σω. Αὐτὸς ὅ, τι βούλει πρῶτος ἐξευρεῖν, λέγε.
Στρ. Ἀκήκοας μυριάκις ἃ 'γὼ βούλομαι.
Περὶ τῶν τόκων ὅπως ἂν ἀποδῶ μηδενί.
Σω. Ἴθι νυν, καλύπτου. καὶ σχάσας τὴν φροντίδα
Λεπτὴν κατὰ μικρὸν περιφρόνει τὰ πράγματα,
Ὀρθῶς διαιρῶν καὶ σκοπῶν. Στρ. οἴμοι τάλας.
Σω. Ἔχ' ἀτρέμα. κἂν ἀπορῇς τι τῶν νοημάτων,
Ἀφεὶς ἄπελθε. κᾆτα τὴν γνώμην πάλιν
Κίνησον αὖθις αὐτὸ καὶ ζυγώθρισον.
Στρ. Ὦ Σωκρατίδιον φίλτατον. Σω. τί ὦ γέρον;
Στρ. Ἔχω τόκου γνώμην ἀποστερητικήν.
Σω. Ἐπίδειξον αὐτήν. Στρ. εἰπὲ δή νυν μοι. Σω. τὸ, τί;
Στρ. Γυναῖκα φαρμακίδ' εἰ πριάμενος Θετταλὴν,
Καθέλοιμι νύκτωρ τὴν σελήνην. εἶτα δὴ
Αὐτὴν καθείρξαιμ' ἐς λοφεῖον στρογγύλον,
Ὥσπερ κάτοπτρον, κᾆτα τηροίην ἔχων.
Σω. Τί δῆτα τοῦτ' ἂν ὠφελήσειέ σ'; Στρ. ὅ, τι;
Εἰ μηκέτ' ἀντέλλοι σελήνη μηδαμοῦ,

SO. *Nihilne coopertus iam commentaberis?*
*Qua de re? dic, obsecro, mihi, mi Socrates.*
SO. *Dic tu ipse, quid primum perscrutari velis?*
ST. *Decies millies iam audisti, quid velim:*
B *De usuris: ne quid reddam cuiquam.* SO. *Agedum tege*
*Faciem, & subtilem cogitationem apud*
*Te cohibe, & res minutatim circumspice:*
*Apposite diuidendo & contemplando eas.*
ST. *Hei mihi misero.* SO. *quietus esto, & sicubi*
*In cogitatione aliqua hæsitaueris,*
*Omitte, & ab ea discede: ac mentem dein*
*Rursum commoue, & idem repete post sedulo.*
C ST. *Hem Socratisce carissime.* SO. *senex, quid est?*
ST. *Habeo commentum, quo vsuras fraudauero.*
SO. *Commonstra.* ST. *age, dic hoc primum.* SO. *quid dicam tibi?*
ST. *Si Thessalicam mihi quandam emam veneficam,*
*Et nocte Lunam ipsam deripiam cælitus,*
*Atque in rotundum loculum concludam, velut*
*Speculum: ac postea sic asseruans custodiam.*
D SO. *Quid verò hoc commodauerit tibi?* ST. *quia*
*Si Luna nusquam terræ oriatur amplius:*

Σχόλια. Τί φροντιεῖς.] φροντίζω τὸ φροντίδα ἔχω κοινῶς μὲν γενικῇ συντάσσεται, ἀττικῶς δὲ μετὰ αἰτιατικῆς, ὡς ἐνταῦθα ἢ ἐν τῷ Σολβεῦς ζητεῖτε; μὴ τοῦτο φροντίζετε. Αὐτὸς ὅτι βούλει.] διαβάλλει αὐτὸν ὡς μὴ παρέχοντα εὕρημα τοῖς μαθηταῖς. Σχάσας. καταπαύσας. στήσας. ἀτρεμήσας. ὁ Πίνδαρος, κώπαν σχάσαις, ἀντὶ τοῦ ἀτρεμήσας. E ἔνιοι δὲ σχάσας, ἀντὶ τοῦ ἁπλώσας. Λεπτήν.] ἀκριβῆ. ἔνθα καὶ λεπτολόγος ἔρευνα. διαιρῶν ἀκριβῶς καὶ ἐπιμελῶς καταμερίζων περὶ οὗ τὴν σκέψιν ποιεῖ. ἀναπτύσσων δοκιμάζων, καὶ διακρίνων τὰ πράγματα. οἷον διαίρεσιν αὐτῶν ποιῶν. ἄλλως. ὡς ἐπὶ τῶν μίμων ἐχρήσατο. ὡσεὶ ἔλεγε κατὰ κεφάλαιον ἐκζήτει. Διαιρῶν καὶ σκοπῶν.] ὁ γὰρ σκεπτόμενος, οὕτω διαιρεῖ τὴν βουλήν. οἷον εἰ τόδε ποιήσω, τόδε ἀπαντήσει. καὶ εἰ τόδε, τόδε. Ἔχ' ἀτρέμα.] ἐφ' ἡσυχίας μένε. ὡς αὐτοῦ κινουμένου διὰ τοὺς κόρεις. ἄλλως. F Ἰστέον ὅτι οἱ Ἀττικοὶ πάντα τά ἑνικά τε καὶ πληθυντικὰ, τρίτα πρόσωπα τῶν ῥημάτων καὶ τὰς τῶν ὀνομάτων δοτικὰς τῶν πληθυντικῶν συμφώνου καὶ φωνήεντος ἐπιφερομένου μετὰ τοῦ ν γράφουσιν, ὡς ἔστι σαφῶς συμβαλεῖν τοῖς πάλαι σοφοῖς πεπονημέναις ἐντυγχάνοντα βίβλοις. οἱ δὲ Ἴωνες δίχα τοῦ ν. τούτοις οὖν καὶ ἀμφοτέροις οἱ ποιηταὶ παρακολουθοῦντες καὶ δὴ καὶ τῇ ἀνάγκῃ τοῦ μέτρου ἑπόμενοι, πολλάκις συμφώνου μὲν ἐπιφερομένου μετὰ τοῦ ν. γράφουσι. πολλάκις δὲ καὶ φωνήεντος ἐπιφερομένου δίχα τοῦ ν. τοιοῦτον δή τι τῇ τοῦ μέτρου ἀνάγκῃ G καὶ ἐν τοῖς εἰς ν καὶ εἰς σ λήγουσιν ἐπιρρήμασι ποιεῖν εἰώθασιν, οἷον τὸ πρόσθεν, νέρθεν, ἐπενέρθεν, τὸ οὕτως αὖθις, πολλάκις εὐθὺς ταχὺς ἀτρέμας καὶ τοῖς ὁμοίοις. τοῦτο δὲ οὕτως ἔχον εὑρήσεις, ἀκριβῶς σκοπῶν. Ἀφεὶς] ἄπελθε ἐάσας τὸ ἀπορούμενον. ἔπειτα πάλιν ἀνασκοπεῖν καὶ οἷον ἀνοίγειν ἀποπειρῶ. τὸ γὰρ ἀναζυγοῦν ἐστι τὸ ἔξωθεν ἀνοίγειν τὴν θύραν. ἔνιοι δὲ ζυγώθρισον. συνάρμοσον. σύμπλεξον. κίνησον δὲ αὖθις. ἀντὶ τοῦ καὶ β καὶ γ ἐπίστησον. περὶ τῶν αὐτῶν ζυγοστάτησον. ἴσωσον. Κίνησον αὖθις.] ὑποτίθεται πῶς δεῖ φροντίζειν καὶ τίνα τρόπον. φησὶ γὰρ ἐὰν ὑπεισέλθῃς, ἔτι μὴ ἀμελήσῃς. ἀλλὰ E πολλάκις αὐτὸ μέτελθε. καὶ οὕτως εἰς ἓν συμφορήσας. τὴν ἀρίστην γνώμην ἕλε. Ζυγώθρισον.] ἀπὸ τοῦ ζυγὸς γίνεται καὶ τοῦ ἀθερίζω τὸ ἀποδοκιμάζω, ζυγοαθέρισον καὶ κατὰ συγκοπὴν τοῦ ε, καὶ κρᾶσιν τοῦ ο καὶ α εἰς ω μέγα ζυγώθρισον. Ὦ Σωκρατίδιον,] ἐνθυμηθεὶς ἐξανίσταται βοῶν. Γυναῖκα φαρμακίδ'.] ὡς νῦν τὰς φαρμακίδας Θετταλὰς καλοῦσι. διαβάλλονται γὰρ οἱ Θετταλοὶ ὡς γόητες. καὶ μέχρι δὲ νῦν φαρμακίδες παρ' ἡμῖν αἱ Θετταλαὶ καλοῦνται. φασὶ δὲ ὅτι Μήδεια φυγοῦσα, κίστην ἐξέβαλε φαρμάκων ἐκεῖ καὶ ἀνέφυσαν. τὸ δὲ Θετταλὴν Ἀττικοὶ βαρύνουσιν οἱ F κατὰ Μένανδρον, ὡς δαμάλην. Λοφεῖον στρογγύλον.] τὴν τοῦ κατόπτρου θήκην. ἢ τὴν θήκην τοῦ λόφου τῆς περικεφαλαίας. περιφερὴς δὲ αὕτη. Ὥσπερ κάτοπτρον.] ὁ γὰρ τῆς σελήνης κύκλος στρογγυλοειδής, καθάπερ καὶ τὰ ἔσοπτρα. καὶ φασὶ τοὺς περὶ τὰ τοιαῦτα δεινοὺς, οὕτω κατάγειν τὴν θεόν. ἔστι δὲ καὶ Πυθαγόρου παίγνιον διὰ τοῦ τοιούτου κατόπτρου προσελήνου τῆς σελήνης οὔσης, εἴ τις ἔσοπτρον ἐπιγράψειεν αἵματι ὅσα βούλεται, καὶ προειπὼν ἑτέρῳ, σταίη κατόπιν αὐτοῦ δεικνὺς πρὸς τὴν σελήνην τὰ γράμματα κἀκεῖνος ἀτενί- G σει ὁ πλησίον εἰς τὸν τῆς σελήνης κύκλον, ἀναγνοίη πάντα τὰ ἐν τῷ κατόπτρῳ γεγραμμένα ὡς ἐπὶ τῆς σελήνης γεγραμμένα. Μηκέτ' ἀντέλλοι.] πρὸς τὸ προειρημένον ὑπ' αὐτοῦ. ὁρῶν ἄγουσαν τὴν σελήνην εἰκάδας. τελουμένης γὰρ σελήνης οἱ τόκοι ἐδίδοντο. εἰ γοῦν οὐκ ἀνατέλλοι πῶς ἂν οἱ δανεισταὶ γνόντες τὸν μῆνα τελούμενον ἀπαιτήσειεν τοὺς τόκους.